# TEZAUR LITURGIC

## 24 MAI

NIKODIMOS AERAKIS

# PARACLISUL SOBORULUI SF.MILITARI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Παρακλητικός Κανών εις πάντας τους αθλήσαντες εν Χριστώ Στρατιωτικούς Αγίους

## Ποιήμα Αρχιμ. Νικοδήμου Αεράκη

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τόν ΡΜΒ’ (142) Ψαλμόν.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος α’. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Στίχος β’. Πάντα τά ἔθνη ἐκύκλωσαν με, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχος γ’. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Τροπάρια Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.
Τήν ἀθληφόρων βιοτήν εὐφημοῦντες, τόν χαριτώσαντα αὐτούς Θεόν Λόγον, λατρευτικῶς τιμήσωμεν βοῶντες θερμῶς σκέπασον ἔν τῆ δυνάμει σου, τούς πιστούς Ὑμνητάς αὐτῶν, πᾶσι δε χορήγησον τῶν ἁγίων τήν χάριν, καί μιμητάς ἀξίωσον ἡμᾶς, ἀναδειχθῆναι, τῶν ἐναθλησάντων σοί.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.
Τῇ Θεοτόκῳ ταπεινῶς ἐκβοῶμεν, οἵ ἀπειλούμενοι ἐχθροῦ ταῖς ἐνέδραις, τῇ μητρική σοῦ σκέπασον ἀγάπη ἡμᾶς, δίωξον Θεοχαρίτωτε, ἀντιδίκου τάς φάλαγγας, παῦσον τάς ὁρμάς παθῶν, καί δαιμόνων μανίαν, σύ γάρ ὑπάρχεις Δέσποινα Ἁγνή, Μήτηρ καί σκέπη καί θεία ἀντίληψις.

Ὁ Ν΄ (50) Ψαλμός.

Κανῶν, οὗ ἤ ἀκροστιχίς:
Χρἰστοφόροις ὁπλίταις ᾠδή, Νικοδήμου.

ᾨδῇ ἁ'. Ἦχος πλ. δ'. ‘῾Υγράν διοδεύσας.
Χαρίτωσον Λόγε τόν Ὑμνῳδόν, ὑμνήσαι ἀξίως, στρατιώτας καί ἀθλητάς, τούς τῆς ἀληθείας στεφανίτας, καί εὐφημήσαι αὐτῶν τό μαρτύριον.
Ῥητόρων τήν δύναμιν οἱ κλεινοί, ἐνίκησαν ὄντως, οἵ τῆς χάριτος κοἰνωνοί• ἐν θαυματουργίαις τοῦ Δεσπότου, τῶν ἀσεβούντων πολλούς ἐσαγήνευσαν.

Ἰσχύϊ τοῦ Πνεύματος δυσσεβεῖς, κατῄσχυναν ἔργοις, οἱ καλλίνικοι ἀθληταί, κηρύττοντες πᾶσι Ὧς Σωτῆρας, τόν Ἰησοῦν σάρκωθέντα ἐκ Πνεύματος.

Θεοτοκίον
Σῦ πέλεις προπύργιον τῶν πιστῶν, Ἁγνή Θεοτόκε καί μεσίτρια πρός Θεόν, δυσώπει σωθῆναι τούς τιμῶντας, τῶν ἀθλητῶν τήν ζωήν τήν πανθαύμαστον.

Ὠδῇ γ'. Οὐρανίας ἁψῖδος.
Τήν πατρίδα τήν ἄνω, οἱ εὐκλεεῖς μάρτυρες, καί τήν βιοτήν τῶν ἁγίων ἐπιποθήσαντες, τούς ἐπιγείους στρατούς καταλιπόντες ἐμφρόνως, οὐρανοῦ κατέλαβον θεία σκηνώματα.
Οὐρανίων ταγμάτων, στρατιωτῶν πρόκριτοι, μέτοχοι γεγόνασι πάντες, οἱ ἐναθλήσαντες ὁμολογοῦντες Χριστοῦ, τήν σωτηρίαν καί χάριν, τῶν φθαρτῶν ἀπόλαυσιν ἀπαρνησάμενοι.

Φρυκτωρός τῶν ἔν ὅπλοις, στρατηλατῶν σύλλογος, πέλει καί στηρίζει ἔν πίστει, τούς μεγαλύναντας, τῶν ἀθλητῶν τήν ζωήν καί αἰκισμούς μαρτυρίων, τήν ὁμολογία τε καί θείαν εὔκλειαν.

Θεοτοκίον
Οὐρανῶν πλατυτέρα τῶν μοναχῶν καύχημα, καί σεμνῶν μητέρων ὁ κόσμος, σωφρόνων ἕδρασμα, ἔν τῇ ἁγνεία τῇ σή, τούς εὐσεβεῖς στρατιώτας, σαῖς λιταῖς πρός Κύριον, φύλαττε ἄσπιλε.

Στερέωσον ἡμᾶς ἔν πίστει ὁμήγυρις ἀθληφόρε, ὅτι πέλετε πρός Θεόν ἱκέται θερμότατοι, Ὣς Ἄριστοι μάρτυρες τοῦ Κυρίου.

Στερέωσον τούς ὀρθοδόξως τιμῶντας σε Θεοτόκε, ἐν τῇ πίστει τοῦ σοῦ Υἱοῦ καί βίου παλαίσμασιν, Ὣς ἔχουσα μητρικήν παρρησίαν.

Κάθισμα. Ἦχος β’. Τά ἄνω ζητῶν.
Τοῖς ἄθλοις Ὑμῶν, Χριστόν ἐκηρύξατε, Θεόν ἀληθῆ καί κύριον τῆς κτίσεως, στρατιῶται ἔνδοξοι, καί Κυρίου στράτευμα ἔνθεον, διό πρεσβεύετε ἀεί πρός Ἐλεήμονα Ὑπέρ πάντων ἡμῶν.

ᾨδῇ δ’. Εἰσακήκοα Κύριε.
Ῥητορείας ἀθέων τε καί τά τῶν ἀνάκτων ἄθεσμα δόγματα, κατεπάτησαν οἱ ἔνδοξοι ἀθληταί Χριστοῦ ἐν θείω Πνεύματι.
Ὁδηγόν τόν Θεάνθρωπον, ἐν ταῖς ἐκστρατείαις σχόντες οἱ ἔνθεοι, τούς τυράννους κατενίκησαν καί τά θεία δώματα κατέλαβον.

Ἰσχυροί ἐν τῷ σώματι, τά τῶν πολεμίων στίφη κατέλαβον καί ἀνάκτων πίστιν ἄθεον οἵ ὁπλῖται τοῦ Χριστοῦ κατῄσχυναν.

Θεοτοκίον
Σωτηρίας ἡ πρόξενος, γέγονας Παρθένε τῷ θείω τόκῳ σοῦ, διό πάντες εὐφημοῦμεν σε, Ὧς μητέρα τοῦ Σωτῆρος ἄχραντε.

ᾨδῇ ε’. Φώτισον ἡμᾶς.
Ὄμματα ψυχῆς, ἐστραμμένα πρός τά κρείττονα οἱ ἀθλοφόροι ἔχοντες ἐς ἀεί, τῶν ἐπιγείων ἐν χάριτι κατεφρόνησαν.

Πίστει ἀληθεῖ, πειρασμῶν νυγμούς κατέβαλον καί διαβόλου πᾶσαν ἐπιβουλήν οἱ ἀθλοφόροι τηροῦντες θεία προστάγματα.

Λάμπουσιν ἀεί, ἐν Σίων οἱ τρισμακάριοι ἀπαρνηθέντες σκότος τό νοητόν καί τῶν ἀνάκτων διδάγματα ἀθεότητος.

Θεοτοκίον

Ἴασαι ψυχῶν καί σωμάτων τά νοσήματα τῶν προστρεχόντων μητέρα θεοσεβῶς, τῇ σή ἀγάπη καί σκέπη Ἁγνῇ μητρόθεε.

ᾨδῇ ς’. Τήν δέησιν ἐκχεῶ.

Τιμήσωμεν βασιλεῖς θεόφρονας στρατηλάτας εὐσεβείας τούς στύλους καί τούς ἁπλούς στρατιώτας ἔν ζήλῳ ὁμολογήσαντας Λόγον τόν ἄναρχον πρό βήματος τῶν ἀσεβῶν παρρησίᾳ δυνάμει τοῦ Πνεύματος.

Ἀνύψωσαν πρός Χριστόν διάνοιαν καί τοῦ κόσμου ἀπαρήθησαν δόξαν καί τήν ψυχήν αὑτῶν ἔθυσαν πάντες οἱ στρατηλάται καί τάγματα γήινα, εἰσῆλθον δέ εἴς οὐρανόν καθορῶντες Θεόν τόν Τρισάγιον.

Ἰδέτωσαν πολεμίων φάλαγγες τῶν ἁγίων τήν οὐράνιον δόξαν, καί οἵ πιστοί ταῖς μαρτύρων πρεσβείαις τῆς ἀρετῆς τόν σταυρόν νῦν ὁράτωσαν, βοῶντες πρός τόν Ἰησοῦν Σή δυνάμει ἡμᾶς καθαγίασον.

Θεοτοκίον
Σῦ Ἄχραντε τούς βροτούς ἠλέησας, Θεοτόκε τῆ σαρκώσει τοῦ Λόγου ὅτι Θεός ἐν βροτοῖς ἐπεφάνη καί τῷ Σταυρῶ τοῖς ἀνθρώποις δεδώρηται, τήν λύτρωσιν ἐκ τῶν παθῶν, καί εἰρήνης ψυχῆς ἀναφαίρετον.

Στερέωσον, ἡμᾶς ἔν πίστει ὁμήγυρις ἀθληφόρε, ὅτι πέλετε πρός Θεόν ἱκέται θερμότατοι, Ὧς ἄριστοι μάρτυρες τοῦ Κυρίου.

Στερέωσον, τούς ὀρθοδόξως τιμῶντας σε Θεοτόκε, ἔν τῆ πίστει τού σοῦ Υἱοῦ καί βίου παλαίσμασιν, Ὧς ἔχουσαν μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.
Τῆ τοῦ Χριστοῦ θείαν χάριν ἐδέξασθε ἔνδοξοι, καί κρουνοῖς τῶν αἱμάτων τήν γῆν ἡγιάσατε, τῆς ἀθλήσει ὑπέρ Αυτόῦ Ὧς μάρτυρες κλεινοί• διό ἐνισχύσατε ἡμᾶς, ἔν ἀγωνίσμασι δεινοῖς, καί ποικίλαις, ἐτάσεσι, σώσατε ἐκ κινδύνων, καί πάντων τῶν πολεμούντων, τούς μακαρίζοντας Ὑμᾶς, Ὧς στεφθέντες ἐν τῆ ἄνω Σίων.

Προκείμενον
Θαυμαστός ὁ Θεός ἐν τοῖς ἁγίοις αὐτοῦ
Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος
Εὐαγγέλιον ἐκ τοῦ κατά Λουκᾶν. (Κεφ.21, 12-19)
Πρό δέ τούτων πάντων ἐπιβαλοῦσιν ἐφ᾽ ὑμᾶς τάς χεῖρας αὐτῶν καί διώξουσι, παραδιδόντες εἰς

συναγωγάς καί φυλακάς, ἀγομένουςἐπί βασιλεῖς καί ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματος μου· ἀποβήσεται δέ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τάς καρδίας ὑμῶν μή προμελετᾶν ἀπολογηθῆναι· ἐγώ γάρ δώσω ὑμῖν στόμα καί σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδέ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δέ καί ὑπό γονέων καί συγγενῶν καί φίλων καί ἀδελφῶν, καί θανατώσουσιν ἐξ ὑμῶν, καί ἔσεσθε μισούμενοι ὑπό πάντων διά τό ὄνομα μου· καί θρίξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μή ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τάς ψυχάς ὑμῶν.

Δόξα.

Ταῖς τῶν ἀθλοφόρων πρεσβείαις, Ἐλεῆμον ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με….

Καί τό προσόμοιον.Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Δεῦτε εὐφημήσωμεν στρατιωτῶν κορωνίδα, ἀθλητῶν τόν σύλλογον, καί μαρτύρων ἄφθιτον ἐγκαλλώπισμα, Τοῦ στρατοῦ ἔνδοξοι, ἀθληταί τοῦ Λόγου, καί τῆς πίστεως οἵ κήρυκες δυνάμει Πνεύματος εὐαγγελικώς ἀνεδείχθησαν, ὅθεν εἴς στρατείαν οὐράνιον εἰσήγαγε Χριστός, τούς ἀθλητάς πρός ἀπόλαυσιν, ἀρρήτου αἰνέσεως.

Ὠδὴ ζ'. Οἵ ἐκ τῆς Ἰουδαίας.
Ὡπλισμένοι δυνάμει, στρατιῶται Κυρίου, Χάριτος θείας κλεινοί, ἠθλήσατε γενναίως, Θεόν ὁμολογοῦντες, καί βοῶντες ἔν ἄσμασιν, ὅ τῶν πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.
Δεσποτείαν καί χάριν, ἀνεκήρυξαν πᾶσι, στρατιωτῶν ἀριστεῖς, Χριστοῦ τοῦ σαρκωθέντος, λυτρώσαντος τόν κόσμον, πρό ὅν πίστει βοήσωμεν, ὅ τῶν πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Ἡ πλειάς τῶν μαρτύρων, κατετάγη ἐμφρόνως, ἐν τῇ στρατεία Χριστοῦ, Θεόν τόν ἔν Τριάδι, κηρῦτουσσα ἀθέοις, καί Ὑμνοῦσα ἔν Πνεύματι, ὅ τῶν πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Θεοτοκίον
Νυσταγμοῦ τῆς καρδίας, ἐλευθέρωσον πάντας, Θεοκυήτορ Ἁγνῇ, καί πύλην μετανοίας, ὑπάνοιξον Παρθένε, τοῖς βοῶσι πρός Κύριον, ὅ τῶν πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Ὠδὴ ή'. Τόν Βασιλέα.
Ἰχνηλατοῦντες, στρατηλατῶν τήν πορείαν, μιμησώμεθα τούτων τήν πιστήν τόν Χριστόν ὑμνοῦντες, εἴς πάντας τούς αἰῶνας.
Κατατρυφῶντες, τῶν ἀρετῶν τῶν μαρτύρων, στρατιῶται πιστοί ἀνυμνοῦσι καί ὑπερυψοῦσι, Χριστόν εἰς τούς αἰῶνας.

Ὁμολογοῦμεν, Τριαδικήν μοναρχίαν καί σύν τοῖς στρατηλάταις Ὑμνοῦμεν, καί δοξολογοῦμεν, αὐτήν εἴς τούς αἰῶνας.

Θεοτοκίον
Δεδοξασμένη, ἐκ γηγενῶν ἤ Παρθένος, δευτερεία Τριάδος κατέχει, ἧς τήν θείαν δόξαν, Ὑμνεῖ εἴς τούς αἰῶνας.

Ὠδῇ θ΄. Κυρίως Θεοτόκον.
Ἡ χάρις τῶν μαρτύρων, στρατόν διασῴζει, ἔξ ἐπηρείας δαιμόνων καί νόσων δεινῶν, ἐπιστηρίζουσα πάντας ζωή τῇ κρείττονι.
Μακάριοι προστάται, πιστούς στρατιώτας, τάς ἀληθείας δογμάτων καί ἤθη χρηστά, καί Ἐκκλησίαις λατρείας σοφῶς διδάσκετε.

Ὁρῶμεν ἔν ἁγίοις, θείους στεφανίτας, κατατρυφῶντας τῆς θείας χαράς καί ζωῆς, σύν πρωτοτόκοις καί πᾶσι, τοῖς ἐναθλήσασιν.

Θεοτοκίον
Ὑμνοῦντες τόν Υἱόν σοῦ, σε ὁμολογοῦμεν, Ὧς Παναγία μητέρα Χριστοῦ τοῦ Θεοῦ καί Ὀρθοδόξων προστάτιν καί καταφύγιον.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβίμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τήν

ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

Καί τά παρόντα Μεγαλυνάρια,
Δημήτριον, Νέστορα καί Μῆναν, Λογγῖνον, Ἀνδρέαν, Θεοδώρους τούς εὐκλεεῖς, Γεώργιον μέγαν, Μερκοῦριον καί Σάββαν, Εὐστάθιον τόν θεῖον, ἀνευφημήσωμεν.
Ἰσίδωρον, Δόμνον, Βιβιανόν, Ἀρέθαν καί Βάκχον, Πρωτολέοντα θαυμαστούς, Καλλίστρατον, Βάπτον, Ἰάκωβον, Ὀρέστην, Πορφύριον, Ἑρμείαν, Ὕμνοις τιμήσωμεν.

Νικήταν, Ουάλην, Εὐνοϊκόν, Ευστράτιον, Πρίσκον καί Προκόπιον Εὐτυχῆ, Ἀρτέμιον, Σάββαν, Θεόδουλον, Ἠλίαν, Ἀκάκιον, Αγγίαν, ἐγκωμιάσωμεν.
Πολύευκτον

Λόγοις εὐφημήσωμεν καί ᾠδαῖς, τούς ἔν Σεβαστείᾳ Τεσσαράκοντα ἀθλητάς, τούς σύν τοῖς συναθλοῖς, ἁπάντων τῶν αἰώνων, στεφθέντας Ὑπό Λόγου, ἐν θείοις στέμμασιν.

Τούς στρατευομένους θεοφιλῶς, φρουροί καί προστάται, τούς στρατεύματος εὐκλεεῖς, ἐκ παντός κινδύνου, φυλλάξατε γενναῖοι, τῆς πίστεως ὁπλῖται, Χριστοῦ δέ κήρυκες.

Εἰδώλων τήν πλάνην καί ἀσεβῶν, δυσσέβειαν πᾶσαν, ἀπηρνήθητε εὐσεβῶς, Χριστοῦ ἀθλοφόροι, τοῦ

Πνεύματος συνάμει, ἡμῶν δε χριστοφόροι, φύλακες ἄμαχοι.

Χριστόν μεγαλύναντες ἐν τῆ γῆ, τῆ ὁμολογία, καί θυσία μαρτυρική, ἔν τῷ Παραδείσῳ, Χριστός ὅ στεφοδότης, κατέστεψεν ἀξίως, Ὑμᾶς θεόφρονες.

Χριστόν ἀγαπήσαντες ἐμμανῶς, στρατείαν γηίνην, ἀπηρνήθητε εὐθαρσῶς, γενναῖοι ὁπλῖται, καί μάρτυρες Κυρίου, τούς ὄντας ἐν στρατεία, περιφρουρήσατε.

Χριστοῦ στρατιῶται θεοσεβεῖς, τούς στρατευομένους, ἁγιάζετε σαῖς λιταῖς, φυλάσσοντες τούτους, ἀπτώτους ἐν ἀγῶσιν, κατά τού ἀντιδίκου, καί τῶν ἐχθρῶν ἡμῶν.

Πρεσβείαν ποιήσατε τῷ Χριστῷ, θείοι στρατιῶται, Ὑπέρ πάντων Χριστιανῶν, τῶν στρατευομένων, τήν ἐπί τῆς στρατείαν, ἵνα ἀεί ἐν πίστει, Χριστῷ λατρεύωσι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον

Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς

Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομα Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Καί τό Ἀπολυτίκιον.

Ἦχος πλ. ἀ'. Τόν συνάναρχον Λόγον.

Οὐρανῶν βασιλείαν, ἐπιποθήσαντες, τῆς ματαιότητος κόσμου ἀπολαβών τε φθαρτῶν, μετά λόγου καί χαράς, κατεφρονήσατε• ὅθεν ἐν χάριτι Χριστόν τόν Δεσπότην καί Θεόν, πρό βήματος ἀσεβείας, ἐκηρύξατε θεοφόροι, ὁμολογία καί θυσία ζωῆς.

ἐκτενής καί ἀπόλυσις, μεθ' ἥν ψάλλομεν τό ἑξῆς:

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε στρατιώτας τοῦ Χριστοῦ, καί πανευκλεείς ἀριστέας, ἀγαλλιώσῃ ψυχή, Ὕμνοις εὐφημήσωμεν καί μεγαλύνωμεν, τοῦ Χριστοῦ γάρ ἐκήρυξαν, ἐν

μέσῳ ἀθέων, πίστιν τήν σωτήριον, ἐν κόσμῳ ἅπαντι, ὅθεν ἐπαξίως στεφάνους, ἔλαβον ἐνδόξως ἐκ Λόγου, καί μακαριότητος ἀπόλαυσιν.

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων Σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

